μεταφράσαι τὴν Γραφήν, ἀλλ' οὐκ οὖν καὶ τοῖς λοιποῖς, καὶ μᾶλλον τοῖς διαλλάττουσι κατὰ τὴν διάλεκτον. Πολλαὶ δὲ εἰσιν αἱ διάλεκτοι καὶ μικταί. Καὶ ἴσθι ὅση ἡ σύγχυσις ἐντεῦθεν γενήσεται. Εἰ γὰρ ἐκ πολλῶν διαλέκτων συναθροισθεῖσαι αἱ λέξεις οὐκ ἤρκεσαν, εἰ μὴ καί τινες ἐκ τούτων ἕτεραι συνετέθησάν τε καὶ παρήχθησαν καί τινι τεχνικῇ ἁρμονίᾳ συνετάχθησαν, πολλῷ μᾶλλον αὐτὸς οὐ δυνήσῃ ἐκ μιᾶς καὶ ταύτης ἀτέχνου συντιθέναι. Καὶ τοῦτο δῆλον, ὅτι εἰ ἐνεδέχετο ὡς κοινῶς τὴν ὁμιλίαν ποιοῦμεν οὕτω καὶ τὴν Γραφὴν συντιθέναι, πάντα τὰ ἔθνη εἶχον ἂν αὐτὴν κατ' ἰδίαν διάλεκτον. Καὶ ἁπλῶς εἰπεῖν, ὥσπερ σῶμα πεπηρωμένον ἀνενέργητόν ἐστι καὶ ἀνωφελὲς καὶ μᾶλλον φορτικὸν καὶ δύσκολον, οὕτω καὶ ἡ θεία Γραφὴ καθάπαξ μεταποιηθεῖσα ἢ καί τινας λέξεις ἀφαιρεθεῖσα ἢ αὐξηθεῖσα ἢ εἰς ἕτερον νοῦν μετασκευασθεῖσα βλάπτει μᾶλλον ἤπερ ὠφελεῖ. Ὅθεν καὶ οἱ θεῖοι Πατέρες
f 305r πολλὰς τῶν νοθευθεισῶν Γραφῶν || ἀπεβάλοντο, ὡς ἐν τοῖς ἐκτεθεῖσι παρ' αὐτῶν κανόσιν ἔστιν ἰδεῖν. Διὸ δεῖ κρατεῖν κατὰ τὴν ἐξ ἀρχῆς διαδοθεῖσαν καὶ κρατηθεῖσαν διάταξίν τε καὶ τεχνολογίαν, καὶ μήτε τῇ ἐννοίᾳ μήτε τῇ φράσει μεταποιεῖν τὴν Γραφήν. Ἐπεὶ οὐδ' αὐτοὶ οἱ τοῦ Χριστοῦ μαθηταί, τὰ τοῦ Ἁγίου Πνεύματος ὄργανα, ἐτόλμησαν ὅλως παραχαράξαι ἔν τινι τούτων αὐτήν, οὐθ' ἁπλῶς καὶ ὡς ἔτυχε τὰ κατ' αὐτοὺς ἐξέδωκαν, καίτοι ἐν τοσαύταις ἀνωμαλίαις καὶ ἰδιῶται τυγχάνοντες, ἀλλ' ἐντέχνως τῷ τῆς γραμματικῆς στοιχοῦντες κανόνι καὶ τῷ πρὸ αὐτῶν παραδείγματι καὶ τῇ διαγνώσει ἑπόμενοι. Ἢ πῶς ἄν, εἰ ἠνόουν οὗτοι καὶ οἱ τούτων ὀπαδοί τε καὶ φοιτηταὶ ὅτι συμφέρει ἡμῖν ἰδιωτικῶς συντιθέναι τὴν Γραφήν, οὐχ οὕτω συντεθείκασιν, οἵτινες ὑπὲρ τῆς ἡμετέρας σωτηρίας πλείστας κακώσεις ὑπέμειναν ὡς καὶ θανάτου ὑπερφρονῆσαι; Ὅθεν ἔστιν ἰδεῖν κ' ἐν τῇ παλαιᾷ κ' ἐν τῇ νέᾳ Γραφῇ τὸ τῆς γραμματικῆς διαλάμπον κάλλος, εἰ μή που τύχοι τὶς διαφορὰ ἐν τοῖς ἐκ τῆς ἑβραΐδος φωνῆς μεταβληθεῖσιν εἰς τὴν ἑλλάδα διάλεκτον, τῷ ἑβραϊκῷ ἔθει τε καὶ ἰδιώματι ἑπομένοις, τῶν ἑρμηνευτῶν ἐνθέσμως τε καὶ συμφερόντως οὕτω διερμηνευσάντων διὰ τὸ ὁμοφωνεῖν τῷ πρωτοτύπῳ.

f 305 v

## Ἐρωταπόκρισις η΄.

Ἐρώτησις Τίνος ἕνεκεν ἐκ διαφόρων καὶ ποικίλων βασάνων ὁ Κύριος τοὺς ὁμολογητὰς αὐτοῦ καὶ μάρτυρας ὡς ἐπὶ τὸ πλεῖστον ῥυόμενος ξίφει συνεχώρει ἀποτμηθῆναι;

[11]) ἐν τῇ φᾳ: ἰστέον ὅτι ἄμφω τὰ κακὰ ἐπεισέφρησε τοῖς χαλκογράφοις, τό τε ἰδιωτικὸν καὶ νόθον ἐν τῇ ἁγίᾳ Γραφῇ. Τοῦτο καὶ ἄλλοι τινὲς ἐτόλμησαν ἐν τῷ Νομοκάνονι καὶ τῇ λεγομένῃ Κλίμακι.

Ε.Υ.Π.Π. Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Ἐπειδὴ οἱ ἀλιτήριοι ἐκεῖνοι καὶ τῆς ἀληθείας πολέμιοι τὴν μὲν διὰ ξίφους τομὴν ἀνένευόν τε καὶ ὑπερετίθεντο, ὡς ἀκαριαίαν τιμωρίαν καὶ οὐ πολὺ τὸ ἄλγος ἐμποιοῦσαν τοῖς μάρτυσι καὶ μὴ οἵαν τε οὖσαν, ὡς εἰκός, τούτους τὴν εὐσέβειαν πεῖσαι ἐξομόσασθαι, ἑτέραις δὲ βασάνοις μακροτάταις καὶ πικροτάταις ἐνέβαλλον, ἱκαναῖς οὔσαις ὡς ἔοικεν ὀδύνην τῇ τούτων ἐνθεῖναι ψυχῇ καὶ καθυφεῖναι τῆς στερρότητος καὶ γενναίας ἐνστάσεως, τούτου χάριν ὁ ἀγωνοθέτης Θεὸς κενὰς καὶ οὐ καινὰς ἀποδεικνύων τὰς τῶν τυράννων ἐπινοίας καὶ μηχανὰς ἐν μὲν ταῖς ἀνυποίστοις καὶ παντοδαμάτορσιν ἐκείναις τιμωρίαις καρτερίαν καὶ ἀνακωχὴν τὴν προσήκουσαν παρεῖχεν ἀναλόγως τοῖς αὐτοῦ ἀθληταῖς, ξίφει δὲ συνεχώρει τοὔμπαλιν τούτους ἀποτμηθῆναι ὡς ἀπεγνωσμένην καὶ ὑστάτην τῶν δυσμενῶν ἐπαγομένην τούτοις ποινήν· ἵνα τὸν προκείμενον ἀγῶνα διανύσαντες τὸν ὑπὲρ τούτου ἀειθαλῆ καὶ λαμπρὸν ἀναδύσωνται στέφανον, καὶ ἵνα μὴ φαντασία ἢ γοητεία τοῖς ἀπίστοις ὑποληφθήσωνται τὰ θεῖα τεράστια· πλὴν ἔστιν ὅτε καὶ τοῦ ξίφους ἐξείλετο. 'Απόκρισις.

## Ἐρωταπόκρισις θ΄. f 182r

Ἆρα καλῶς ποιοῦσι τινὲς πρεσβύτεροι καὶ γέροντες μείρακας καὶ νεάνιδας γαμοῦντες; 'Ερώτησις.

Οὐ χρὴ μοναχοὺς ἡμᾶς ὄντας τοιαῦτα ἐξετάζειν· πλὴν ἐν συντόμῳ εἰπεῖν οὐκ ἀνάρμοστόν μοι δοκεῖ. Φησὶ γὰρ ὁ παροιμιαστής. «Συνευφραίνου μετὰ γυναικὸς τῆς ἐκ νεότητός σου». Καὶ ὁ Μαλαχίας. «Γυναῖκα νεότητός σου μὴ ἐγκαταλίπῃς». Δύο γὰρ ἐνταῦθ' ὑφορῶνται κακά, ἀσέλγεια καὶ μοιχεία· ὅτι ὁ μὲν ἀνὴρ τοιοῦτος ὢν ὑπὸ τῆς ἡδονῆς νικώμενος τοιαῦτα ποιεῖ· ὅθεν εἰκὸς οὐδὲ τὸν πρὸ τούτου χρόνον ἀμέμπτως διελθεῖν. Μοιχεία δέ, ὅτι καὶ ἡ γυνὴ συνευφραίνεσθαι θέλει μετὰ ἡλικιώτου. Συμβαίνει δὲ κἀντεῦθεν πολυγαμία· τὸ γὰρ τῆς ἡλικίας ἀνόμοιον, ἀνόμοιον οἶδε ποιεῖν καὶ τὸν καιρὸν τοῦ θανάτου· ὅθεν τοῦ γεγηρακότος μέρους τελευτήσαντος, εἰ μὴ σωφρονεῖ τὸ ἀκμάζον, ἀνάγκη ῥέψαι εἰς γάμον ἕτερον. 'Απόκρισις.

## Ἐρωταπόκρισις ι΄.

Ἀπορῶ πῶς τοὺς Τούρκους, ἀσεβεῖς ὄντας, ἀφῆκεν ὁ Θεὸς καθ' ἡμῶν, ἀγαπώντων αὐτὸν καὶ σεβομένων. 'Ερώτησις

Εἰπέ μοι σύ, ἄνθρωπος ὤν, οὐχὶ τοὺς ἀνθρώπους ἀγαπᾷς μᾶλλον 'Απόκρισις

18) Κώδ. Ναν. 125f. 182r. 'Αμβ. 290f. 253v 21) Παροιμ. 5,18 22) Μαλ. 2,15 31) Κώδ. Ναν. 125 f. 182 r—v

20) ἐν συντόμῳ εἰπεῖν ἀνάρμοστόν μοι δοκεῖ ] N.A. 27) ἐν τῇ ῷᾳ A : μετὰ ἡλικιώτου κρεῖττον ὁμήλικος.

ΕΡΓΑΣΤΗΡΙΟ ΤΗΜΗΜΑΤΟΣ ΦΙΛΟΛΟΓΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ ΙΩΑΝΝΙΝΩΝ
Ε.Δ. της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

ἢ τὰ θηρία; Ἀλλ' ὅμως πολλάκις τὰ θηρία κατὰ τῶν ὁμοφυῶν σοι ἀνθρώπων ἀφίεις, ληστῶν ὄντων. Ταῦτα δὴ καὶ βασιλεῖς ποιοῦσι, καὶ οὐχ ἁμαρτάνουσι, σωφρονοῦντες τοὺς κακοτρόπους διὰ τῶν θηρίων, μισητῶν δοκούντων. Ποῦ δ' ἂν θήσεις τὴν τῶν θηρίων ἐκ Θεοῦ παραγωγὴν καὶ συντήρησιν, ἵνα μὴ λέγω τὴν τῶν δαιμόνων;

## Ἐρωταπόκρισις ια'.

f 253r Περὶ τοῦ «λάβετε φάγετε» καὶ τοῦ «πίετε πάντες»

Ἐρώτησις Πῶς ὁ Κύριος παραδιδοὺς τοῖς μαθηταῖς τὸ μυστήριον, ἐπὶ μὲν τοῦ ἄρτου εἶπεν ἁπλῶς «λάβετε, φάγετε», ἐπὶ δὲ τοῦ ποτηρίου προσέθηκε τὸ «πάντες», λέγων «πίετε ἐξ αὐτοῦ πάντες»;

Ἀπόκρισις Τοῦτο πάνυ σαφές. Ἐπὶ μὲν τοῦ ἄρτου οὐκ ἦν ἀνάγκη τῆς προσθήκης ταύτης· ἐπεὶ αὐτὸς μερίσας ἅπασιν ἔδωκεν. Ἐπὶ δὲ τοῦ ποτηρίου, ἑνὸς ὄντος καὶ μὴ δυναμένου διαιρεθῆναι, ἀνάγκη ἦν εἰπεῖν τὸ «πάντες», ἵνα μὴ τοῦ ἑνὸς λαβόντος καὶ πιόντος οἱ λοιποὶ ἀμέτοχοι γενήσωνται.

## Ἐρωταπόκρισις ιβ'.

f 253 v Περὶ ἀμφιβολίας τινὸς γενομένης ἐν τῇ σημασίᾳ τῆς ἐκκλησιαστικῆς ἀκολουθίας.

Πύσμα Πολλοὶ ἀμφιβάλλουσι, κἀγὼ πρὸς τούτοις, τῆς τε ἡμέρας τῆς τε νυκτὸς μείζονός τε καὶ ἧττονος γινομένης κατὰ τοὺς καιροὺς τοῦ ἐνιαυτοῦ, τίνος χάριν ὁ τυπικάριος κατὰ τὴν αὐτὴν ὥραν ἄρχεσθαι πάντοτε τῆς ἀκολουθίας προτρέπεται; Ὅταν γὰρ ἰσημερία, ὡς ἐν παραδείγματι εἰπεῖν, εἴπερ ἐν τῇ δεκάτῃ τῆς ἡμέρας ὥρᾳ σημανοῦμεν διὰ τὴν ἀκολουθίαν τῆς ἑσπέρας, καλῶς ἡμῖν ἅπαντα συμβαίνει καὶ ἔγκαιρα· ἐν δὲ τῇ τοῦ θέρους ἢ τοῦ χειμῶνος ὥρᾳ, οὐδαμῶς, τῆς δεκάτης ὥρας προλαμβανούσης ἢ ὑστερούσης κατὰ τὸν ἁρμόζοντα καιρόν.

Ἀπόκρισις Ἀλλ' ὁ τυπικάριος εἰς δώδεκα πάντοτε μοίρας διαιρεῖ τὴν ἡμέραν, ὡσαύτως καὶ τὴν νύκτα, καθάπερ καὶ ἐν τῷ Εὐαγγελίῳ εὑρίσκεται. Διὸ δεῖ κατὰ τὴν ἀναλογίαν τῆς ἰσημερίας εἰδέναι τὸν καιρὸν τῆς ἀκολουθίας ἔν τε χειμῶνι καὶ θέρει. Οἷον ἐὰν τῇ ὀγδόῃ τῆς ἡμέρας ὥρᾳ φησίν, ἐν ὥρᾳ χειμῶνος μετὰ τὴν ἕκτην ἢ τὴν ἑβδόμην τοῦτο ποιεῖν· εἰ δὲ τῇ δεκάτῃ φησί, τῆς ὀγδόης μεσαζούσης ἢ καὶ παρελθούσης,

[7]) Κῶδ. Ἀμβρ. 290 f. 253 r. [17]) Κῶδ. Ἀμβρ. 290f. 253v — 254v καὶ Ναν. 125 f. 180v—182r

Ε.Π.Ι. της τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἐν δὲ τῷ θέρει μετὰ τὴν δωδεκάτην ἢ μεσαζούσης τῆς τρισκαιδεκάτης, καὶ οὕτω κἂν τοῖς λοιποῖς δεῖ προστιθέναι τι ἢ ἀφαιρεῖν, κἄν τε νὺξ ἐστι, κἄν τε ἡμέρα.

Ἐπερώτησις

Ἀλλὰ τοῦτο γένοιτ' ἂν ἐπὶ τῆς ὁλοχρονικῆς ἀκολουθίας, ἐν ᾗ οὐ δεῖ ὁρίζειν ὥραν ἰδίως τῆς ἡμέρας ἢ τῆς νυκτὸς διὰ τὴν ἀνισότητα τῶν καιρῶν καὶ διὰ τὴν πολυλογίαν. Ἐν δὲ τῇ τῶν Χριστουγέννων ἢ τῶν Φώτων παραμονῇ διατὶ μὴ σαφῶς τὴν ὥραν ἐδήλωσεν;

Ἀπόκρισις

Κἂν τούτοις τὰ αὐτὰ συμβαίνει. Οὐ γὰρ αἱ αὐταὶ ὧραι ἔν τε τοῖς νοτίοις κλίμασι καὶ τοῖς ἀρκτικοῖς. Ὅθεν ἐν τοῖς μέρεσι τῆς Αἰθιοπίας, τῆς μείζονος ἡμέρας ὡρῶν δεκατριῶν οὔσης, ἐν τοῖς Ποντικοῖς δέκα ἓξ ὑπάρχει· ἐν δὲ Ῥωσίᾳ, ὥς τινες ἐκεῖσε παραγενόμενοι ἡμῖν διηγήσαντο, καὶ ἐγγὺς τῶν εἴκοσιν ὡρῶν ἡ ἡμέρα ἔρχεται, ὅπερ ἀναλόγως συμβαίνει καὶ ἐπὶ τῆς νυκτός, μείζονος γενομένης ἐν καιρῷ ἰδίῳ, ὅτε δῆλον ὅτι πάνυ ὀλίγη καθίσταται ἡ ἡμέρα. Ὡς δὲ λέγουσιν οἱ περὶ ταῦτα δεινοί, ὅτι ἐν τοῖς ἄκροις τῶν ὑπερβορείων ἐν καιρῷ τοῦ θέρους οὐδόλως ἐστὶ νὺξ ἐν ἡμέραις τισίν, ὥσπερ ἐν χειμῶνι ὅλον νύξ· καὶ διὰ τοῦτο ἀοίκητος ὁ τόπος ἐκεῖνος καὶ τῷ κατὰ κορυφῆς πολὺ ἀπέχειν τὸν ἥλιον. Τοῦτο δὲ συμβαίνει, διὰ τὸ ἐν χειμῶνι μήτε ἀνατέλλειν μήτε δύνειν ἐπ' αὐτοὺς τὸν ἥλιον, ἐν τοῖς μεσημβρινοῖς μέρεσι κλίναντα, οὗ τὸ ἐναντίον ἐν καιρῷ θέρους γίνεται. Εἰ οὖν οὕτως ἔχουσιν αἱ ὧραι, τυπικὸν δὲ τὸ αὐτὸ καὶ παρὰ τοῦ αὐτοῦ ἐν πᾶσι τοῖς χριστιανοῖς, πῶς εἶχε διορίσαι τὴν ὥραν τῆς ἀκολουθίας; Εἰ γὰρ τῇ ἕκτῃ ὥρᾳ ἔλεγεν ἢ τῇ ἑβδόμῃ, ἐν ἡμῖν μὲν || εὖ καὶ καλῶς συνέβαινεν, f 254r οὐχὶ δὲ καὶ εἰς Ῥωσίαν, τῆς ἡμέρας ἐκεῖσε μὴ φθανούσης τὰς ἓξ ὥρας. Ταῦτα οὖν εἰδότες καλῶς οἱ θεοφόροι Πατέρες καὶ μᾶλλον Ἰωάννης ὁ Δαμασκηνός, ὁ τὸ τυπικὸν συντεταχώς, τὴν ὥραν οὕτως ἐξέθεντο. Ἀλλ' οἱ περὶ τὴν Κωνσταντινούπολιν, καθ' ὅσον ἐπὶ σοφίᾳ αὐχοῦσι, κατὰ τοσοῦτον πεπλάνηνται, τὴν ὥραν μεταποιήσαντες, καὶ οὐ μόνον τοῦτο, ἀλλὰ καὶ ἕτερα πολλά, οἷον ἐστὶ κἀκεῖνο τὸ ἐν τῇ ἱερουργίᾳ τῆς μεγάλης Κυριακῆς κατὰ τὸν καιρὸν τῆς ἀναγνώσεως τοῦ ἁγίου Εὐαγγελίου κρούειν τὸ ξύλον, ὅπερ μοι δοκεῖ σύγχυσις ἄκαιρος.

Παράκλησις

Ἀλλὰ πρὸς Θεοῦ δέομαί σου, ἐπεὶ τὸ περὶ τῆς ὥρας καλῶς ἐξωμάλισας, ὥστε μηδεμίαν ἀμφιβολίαν ἔτι ἀπολειφθῆναι, μηδὲ τὸ περὶ τοῦ Εὐαγγελίου παντελῶς ἐάσειν ἀνεξέταστον. Εἰς γὰρ ἕτερον ζήτημα ἐνέβαλες ἡμᾶς οὐκ ἔλαττον τοῦ προτέρου.

Ἀπολογία

Περὶ τούτου οὐκ ἔχω γνῶναι σαφῶς ὅθεν ἔλαβε τὴν ἀφορμήν. Πλὴν στοχαστικῶς καὶ περὶ τούτου διαλαβεῖν ἔξεστιν. Ἐν Κωνσταν-

23) συμβαίνει A 32) ἐξομάλισας N

τινουπόλει ναὸς ἐστι περιβόητος, οὗ τὸ μέγεθος οὔτε ἐν Παλαιστίνῃ, οὔτε ἐν Μακεδονίᾳ, οὔτε ἐν Ἑλλάδι, οὔτε ἐν τοῖς νήσοις, οὔτε ἐν ἄλλῃ τινὶ πόλει, ἐν ᾗ παρεγενόμην, εἶδον ἐγώ. Ἔστι δ' οὗτος τῆς ἁγίας Σοφίας, ἤτοι αὐτῷ τῷ Λόγῳ Θεοῦ κτισθεὶς καὶ ἀφιερωθεὶς παρὰ Ἰουστινιανοῦ τοῦ βασιλέως. Ὥσπερ δὲ μανθάνομεν ἐκ τῆς ἁγίας Γραφῆς τὸν Σολομώντειον ἐκεῖνον ἐν Ἱεροσολύμοις ναὸν εἰς τρία διαιρεῖσθαι· ἔστι γὰρ πρῶτον αὐτοῦ μέρος τὸ ἐλάμ, ὅπερ ἅγιον κοσμικὸν καλεῖ ὁ Ἀπόστολος εἰς διαστολὴν τοῦ λοιποῦ ναοῦ καὶ ὅτι βατὸν ἦν παντὶ τῷ βουλομένῳ καθ' ἑκάστην, ἐν ᾧ τὸ χαλκοῦν τῶν καρπωμάτων θυσιαστήριον παρὰ τὰς θύρας τοῦ ναοῦ· μεθ' ὃ αὐτὸς ὁ ναός, ὁ καὶ οἶκος ἐξαιρέτως ὀνομαζόμενος, τὸ μεσαίτατον οἱονεὶ καὶ πλεῖον μέρος τοῦ σώματος, ἐν ᾧ ἦν τὸ χρυσοῦν τοῦ θυμιάματος θυσιαστήριον κατὰ πρόσωπον τοῦ καταπετάσματος· μεθ' ὅν, ὡσπερεὶ κεφαλή, τὸ δαβήρ, ἤτοι τὰ ἅγια τῶν ἁγίων, ἐν ᾧ ἡ κιβωτὸς καὶ τὰ λοιπά. Κύκλῳ δὲ τοῦ ναοῦ τούτου καὶ μέλαθρα ᾠκοδόμηντο καὶ δικτυωταὶ θυρίδες διὰ τὸν κοινὸν λαόν. Οὕτω καὶ τῆς ἁγίας τοῦ Θεοῦ Σοφίας ὁ ναὸς ἐτύγχανεν ὢν διῃρημένος εἰς αὐτό τε τὸ μεσαίτατον τοῦ ναοῦ καὶ εἰς τὸ ἅγιον βῆμα καὶ εἰς τὸν νάρθηκα, ὃν καὶ γυναικωνίτην τινὲς ὀνομάζουσι· νάρθηκα μέν, ὅτι νέρθεν, ἤγουν κάτωθεν τοῦ ναοῦ καὶ οἱονεὶ πρόποδα τούτου τυγχάνειν, γυναικωνίτην δέ, διὰ τὸ τὰς γυναῖκας ἐκεῖσε ἰδίως ἵστασθαι καὶ μὴ συναναμίγνυσθαι τοῖς ἀνδράσι· κύκλῳ δὲ τούτου παρεκκλήσια ἕτερα καὶ κιγκλίδες. Ἅπερ ἅπαντα συνέβαινεν ἐν τῷ καιρῷ τῆς ἀναστασίμου ἡμέρας, ἤτοι τῇ μεγάλῃ Κυριακῇ, πληροῦσθαι, τοῦ πλήθους τῶν ἀνθρώπων πάντοθεν συρρέοντος ἔκ τε τῶν ἐπιδημούντων διὰ ξηρᾶς καὶ θαλάττης ξένων ἐν τῇ πόλει καὶ ἐξ αὐτῶν τῶν πολιτῶν. Καθ' ὅσον γὰρ λαμπροτέρα ἡ τοιαύτη ἑορτὴ τῶν λοιπῶν ἑορτῶν, κατὰ τοσοῦτον εἰκὸς καὶ τοὺς συνειλεγμένους πλείονας εἶναι, ὥστε κορυφοῦσθαι οὐ μόνον εἰς χιλιάδας ἀλλὰ καὶ μυριάδας, τοὺς μὲν γλιχομένους τῆς μελῳδίας ἀκοῦσαι, τοὺς δὲ τὸν Πατριάρχην θεάσασθαι λειτουργοῦντα μετὰ πάσης || τῆς αὐτοῦ
f 254v ὑπηρεσίας, τοὺς δὲ τὸν Βασιλέα μετὰ τῆς αὐτοῦ τάξεώς τε καὶ δορυφορίας, ὅτε παρῆν, τοὺς δὲ δι' ἄλλην τινὰ φαντασίαν καὶ καλλονὴν τοῦ ναοῦ. Τούτων οὕτω τελουμένων καὶ τοῦ θείου Εὐαγγελίου ἀναγινωσκομένου, εἰκὸς ἦν, τοὺς μὲν ἐγγύς, ἀκούειν αὐτό, τοὺς δὲ πόρρω, οὐδαμῶς, διά τε τὸν ὀρυμαγδὸν καὶ τὸ μὴ πλησίον ἐλθεῖν δύνασθαι, καὶ ἐντεῦθεν θλίψιν τινὰ γίνεσθαι περὶ τὸν λαόν. Θεραπεύοντες οὖν οἱ τότε πρόκριτοι τὴν τοιαύτην θλίψιν, ἔταξαν τριχῶς ἀναγινώσκε-

9) ἐν ᾧ ἦν ΝΑ] 15) καὶ μέλαθρά τινα] Α 21) κατὰ τοῦτον εἰκὸς] Ν

ΙΩΑΝΝΙΝΑ 2006

-σθαι τὸ Εὐαγγέλιον, ἔν τε τῷ ἁγίῳ βήματι ὑπὸ τοῦ ἀρχιερέως, ἐν δὲ f 230r τῷ ἄμβωνι ὑπὸ διακόνου, ὡσαύτως καὶ ἐν τῷ νάρθηκι. Ἐπεὶ δὲ οὐδὲ οὕτως ἦν εἰκὸς ὁμοφωνεῖν τοὺς ἀναγινώσκοντας, τοῦ μὲν προβαίνοντος, τοῦ δὲ μένοντος, διὰ τὴν σύγχυσιν τῆς φωνῆς, ἐκ διαδοχῆς ἔταξαν ἕκαστον στίχον ἀναγινώσκεσθαι, καὶ οὕτως ἀκούειν ἅπαντα πάντας. Ἀλλ' ἐπεὶ κυκλικῶς ἡ ἀνάγνωσις ἐτελεῖτο καὶ ὁ μὲν ἐν τῷ νάρθηκι ἤκουε τοῦ ἐν τῷ ἄμβωνι ἀναγινώσκοντος, οὗτος δὲ τοῦ ἐν τῷ βήματι, ὁ δὲ ἐν τῷ βήματι οὐκ ἤκουε τοῦ ἐν τῷ νάρθηκι διὰ τὸ μήκοθεν τούτου ἵστασθαι, ἐξεῦρον καὶ τοῦτο διὰ σημαντῆρος μανθάνειν τὸ τέλος τοῦ στίχου, καὶ οὕτω τοῦ ἑτέρου ἄρχεσθαι, μέχρις οὗ πληρωθῇ ἡ τούτου ἀνάγνωσις. Ὅθεν δῆλον κἀν ταῖς λοιπαῖς ἐκκλησίαις ἐκράτησεν ἀβασανίστως ἡ τοιαύτη συνήθεια.

---

## XIX

## ΚΕΦΑΛΑΙΑ ΠΡΟΣ ΤΙΝΑΣ ΔΙΑ ΤΑΥΤΑ ΑΜΦΙΒΑΛΛΟΝΤΑΣ ΚΕΦΑΛΑΙΑ ΤΙΝΑ ΠΕΡΙ ΙΕΡΩΣΥΝΗΣ f 182v

Ὅτι εἰς προσκύνησιν πωλοῦσιν οἱ ζωγράφοι τὰς ἁγίας εἰκόνας τοῖς εὐσεβέσιν, οὐκ εἰς ἀτιμίαν καὶ ἀφανισμόν, ὥσπερ ὁ Ἰούδας τὸν Κύριον.

Ὅτι ἐργόχειρόν ἐστιν ἡ εἰκών, οὐχὶ χάρις, ὡς τὰ ἅγια μυστήρια. Τὸ οὖν ἐργόχειρον πωλεῖται, ἀλλ' οὐχὶ καὶ ἡ χάρις· ἀόρατος γὰρ καὶ θεοδώρητος, διδομένη τοῖς ἀξίοις· διὸ καὶ Πέτρος πρὸς τὸν ὡς ἐργόχειρον βουλόμενον ἀγοράσαι τὴν δωρεὰν τοῦ Ἁγίου Πνεύματος ἔφη: «Τὸ ἀργύριόν σου σὺν σοὶ εἴη εἰς ἀπώλειαν· ὅτι τὴν δωρεὰν τοῦ Θεοῦ ἐνόμισας διὰ χρημάτων κτᾶσθαι». Τινὲς δὲ τῶν ὁσίων Πατέρων χείρονος καταδίκης ἀξιοῦσι τὴν ἐπὶ χρήμασι χειροτονίαν ἢ τὴν εἰς τὸ Ἅγιον Πνεῦμα βλασφημίαν· ὅτι ὁ μὲν βλασφημῶν φησὶν ἐκ σκαιότητος, ὁ δὲ πωλῶν ὡς δοῦλον τοῦτο πωλεῖ τῇ προαιρέσει καὶ ὅμοιός ἐστι τῷ προδότῃ Ἰούδᾳ.

Ὅτι καὶ οἱ ποτὲ Ἅγιοι γράφοντες ἐνίοτε ἐπώλουν, καὶ οὐ διὰ τοῦτο κρίνονται, ἀλλὰ μᾶλλον ἐπαινοῦνται· οἷος ἦν καὶ ὁ τὸ ἅγιον εὐαγγέλιον πωλήσας καὶ εἰπὼν τῷ ἐρωτήσαντι, ὅτι τὸν λέγοντά μοι πώλησον τὰ ὑπάρχοντά σου καὶ δὸς πτωχοῖς, αὐτὸν ἐπώλησα καὶ δέδωκα αὐτοῖς.

**[15]) Κώδ. Ναυ. 125 f. 182v—183r Βερ. 214 (Phil. 1617) f. 306 r-v   [22]) Πράξ. 8, 20.**

**[3]) Ἄμβονι] ΝΑ**

Ε.Υ. Δ... Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Οτι διὰ τὸ μὴ τιμᾶσθαι τοὺς γραφεῖς, ἐξέλιπεν ἡ ἱερὰ Γραφή, καὶ διὰ τὸ ἀγοράζειν τὴν ἱερωσύνην τοὺς ἀναξίους, οἱ ἄξιοι ταύτης παρορῶνται· ὅθεν καὶ ἅπασα κακία χωρεῖ.

Ὅτι τὸ μὲν ἱερωσύνην ζητεῖν, εἶδος ὑπερηφανίας, τὸ δὲ τὸ μοναχικόν, ταπεινοφροσύνη· ὅτι ὁ μὲν ἐπὶ τὸ ποιμαίνειν ἀνάγεται, ὁ δὲ ἐπὶ
f 183r τὸ || ποιμαίνεσθαι προσέρχεται. Διὸ δεῖ τὸν μὲν τὴν παρ' ἄλλων προχείρισιν μετὰ παρακλήσεως ἐκδέχεσθαι, τὸν δὲ αὐτομολεῖν ἐπὶ τὸ σχῆμα.

Ὅτι ἐνεργεῖ ἡ ἱερωσύνη καὶ ἐν τοῖς ἀναξίοις, διὰ τὴν πίστιν τῶν χριστιανῶν· καὶ δῆλον ἐκ τοῦ τὸν παῖδα βαπτίσαντος διὰ τοῦ ἀγγέλου, τοῦ δοκοῦντος ἱερέως, ἀνιέρου τυγχάνοντος, καὶ ἐκ τοῦ ἀσελγοῦς ἱερέως, ὡσαύτως μεταδιδόντος τὰ ἅγια μυστήρια τοῖς πιστοῖς κατὰ τὸ φαινόμενον, τοῦ ἀγγέλου ἀοράτως μεταδιδόντος, καὶ ἐκ τοῦ παρανόμου ἀρχιερέως Καϊάφα προφητεύσαντος ἐπὶ τῷ θανάτῳ Χριστοῦ.

Ὅτι εἰ τὰ ἐξ ἀλόγου θυμοῦ καὶ ὀρέξεως ποτὲ ἐν ἡμῖν ἐνεργηθέντα πάθη κωλύουσι προελθεῖν εἰς ἱερωσύνην, πολλῷ μᾶλλον τὰ νῦν ἐνεργούμενα ἐκ κακῆς προαιρέσεως.

Ὅτι ἱερωσύνη μὲν πολλάκις ἀφαιρεῖται ὡς ἀξίωμα· μοναχικὴ δὲ οὐδέποτε, ἐπείπερ ἀρετή.

---

## XX

## ΠΕΡΙ ΕΞΟΜΟΛΟΓΗΣΕΩΣ

Ἡ ἐξομολόγησις ὀφείλει εἶναι ἁπλῆ, ταπεινή, καθαρά, πιστή,
f 6r συνεχής, ἀκέραιος, φανερά, διακεκριμένη, εὐλαβής, ὁλόκληρος, μυστική, συντετριμμένη, σύντομος, ἰσχυρὰ καὶ κατήγορος τοῦ ἐξομολογουμένου.

Ἁπλῆ μέν, ἵνα ὁ ἐξομολογούμενος μὴ τὰ αὐτὰ πολλάκις λέγῃ, εἰ μὴ τοσοῦτον μόνον, ὅσον διὰ τὴν ἐπανάληψιν, τὴν ποσότητα καὶ τὸ μέγεθος τῶν ἁμαρτημάτων αὐξῆσαι. Ταπεινὴ δέ, ἵνα ὁ ἐξομολογούμενος ἄθλιον καὶ ἀσθενῆ ἑαυτὸν ὁμολογῇ. Καθαρὰ δέ, ἵνα ὁ τοῦ ἐξομολογουμένου σκοπὸς ὀρθὸς ᾖ καὶ μηδένα δόλον ἢ ἀπάτην ἔχῃ. Πιστὴ δέ, ἵνα ἀληθὴς καὶ χωρίς τινος ψευδολογίας ἐξαγγέλληται. Συνεχὴς δέ, ἵνα ὁ ἄνθρωπος συνεχῶς ἐξομολογεῖται. Ἑκούσιος δέ, ἵνα μὴ ᾖ κατηναγκασμένη καὶ βίαιος· οὐδὲν γὰρ βίαιον ἔμμισθον. Φανερὰ δέ, ἵνα μὴ περίεργος καὶ δύσκολος νοεῖσθαι ὑπάρχῃ διὰ τὴν τῶν εἰρημένων ἀσάφειαν. Διακεκριμένη δέ, ἵνα φρονίμως λέγηται, ὥστε καὶ τὰ μείζω ἁμαρτήματα μετὰ μείζονος συντριβῆς καὶ στεναγμοῦ καὶ μεταμελείας

[19]) Κώδ. Ἀμβρ. 290 f. 6r

λέγεσθαι, ἀναλόγως δῆλον ὅτι τοῖς ἁμαρτήμασιν. Εὐλαβὴς δέ, ἵνα ἄνθρωπος αἰσχύνηται ἐπὶ τοῖς ἑαυτοῦ ἁμαρτήμασιν, ἀλλὰ μὴ ὑπερηφανεύηται διά τινα τοῦ κόσμου ματαιότητα ἢ μωρίαν. Ὁλόκληρος δέ, ἵνα ὁ ἐξομολογούμενος μηδὲν καταλιμπάνῃ τῶν ἁμαρτημάτων. Μυστικὴ δέ, ἵνα μὴ δημοσίᾳ μηδὲ ἐν ταῖς πλατείαις γένηται. Συντετριμμένη δέ, ἵνα ὑπὸ τῆς ἄγαν μεταμελείας ὀδυνώμενος στενοχωρῆται καὶ αἰσχύνηται καὶ κλαίῃ. Σύντομος δέ, ἵνα ὁ ἐξομολογούμενος αὐτίκα μετὰ τὸ ἁμάρτημα ἐξομολογῆται καὶ μὴ ἀναβάλληται ἡμέραν ἐξ ἡμέρας. Ἰσχυρὰ δέ, ἵνα μὴ δι' ἐντροπὴν παραλιμπάνηταί τι τῶν ἁμαρτημάτων. Κατηγορικὴ δέ, ἵνα ὁ ἐξομολογούμενος μηδένα ἄλλον αἰτιᾶται, ἀλλ' ἑαυτὸν καὶ τὴν ἑαυτοῦ ἀμέλειαν καὶ ἀσθένειαν.

---

## XXI

## ΠΕΡΙ ΤΩΝ ΕΝ ΤΩ ΒΑΠΤΙΣΜΑΤΙ ΤΙΘΕΜΕΝΩΝ ΟΝΟΜΑΤΩΝ ΚΑΙ ΤΩΝ ΜΗ ΤΟΙΟΥΤΩΝ

Ὅσα ἐν τῷ ἁγίῳ βαπτίσματι δεχόμεθα ὀνόματα, βεβαπτισμένα f 4v εἰσὶ καὶ παρὰ τῆς ἁγίας Ἐκκλησίας στεργόμενα. Ὅσα δὲ ἐκτὸς τούτου, ἀβάπτιστα καὶ ἀπόβλητα, καὶ τοῦτο δῆλον ἐκ τῶν ἐν αὐτῇ καθ' ἑκάστην ἀναγινωσκομένων ἱστορικῶν. Διὸ οὐκ ἔξεστι τοῖς χριστιανοῖς ἐναλλάττειν τὰ βεβαπτισμένα ὀνόματα, ὡς τοῦ ἁγίου βαπτίσματος ἐν τούτῳ ἀθετουμένου. Ἐξῄρηται δὲ τὰ μοναχικά· ταῦτα γὰρ καὶ βεβαπτισμένα, ὡς τῆς ἀποκάρσεως οὐκ ἐναντίας οὔσης τοῦ βαπτίσματος, ἀλλὰ συνηγόρου. Τὰ δὲ λοιπὰ ἐναντία, ὡς διὰ ὕβριν ἢ δόξαν ἀνθρωπίνην γινόμενα· εἰ μὴ ἐπίθετά εἰσι καὶ πάτρια· ταῦτα γάρ, τηρουμένου τοῦ βεβαπτισμένου κυρίου τε καὶ πρώτου ὀνόματος, συνεπάγονται εἰς πλείονα ἔμφασιν. Καὶ γὰρ τὰ ὀνόματα ἢ διὰ ἔμφασιν τῶν προσώπων ἢ μίμησιν τῶν παλαιῶν τάττονται, καθ' ἅ φησιν Ἰωάννης ὁ Χρυσόστομος ἐν ὁμιλίᾳ εἰκοστῇ πρώτῃ τῆς ἑξαημέρου. «Μὴ τοίνυν μηδὲ ἡμεῖς τὰς τυχούσας προσηγορίας ἐπιτιθῶμεν τοῖς παισί, μηδὲ τῶν πάππων καὶ ἐπιπάππων καὶ πρὸς γένος διαφερόντων τὰς ὀνομασίας αὐτοῖς χαριζόμεθα, ἀλλὰ τῶν ἁγίων ἀνδρῶν τῶν ἐν ἀρετῇ διαλαμψάντων, τῶν πολλὴν τὴν παρρησίαν πρὸς Θεὸν ἐσχηκότων».

---

14) Κῶδ. Ἀμβρ. 290 f. 4v. 26) Migne PG. 53,1,9

6) ὀδυνόμενος | A



Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## XXII

f 214v

## ΠΕΡΙ ΔΙΑΦΟΡΑΣ ΕΡΓΩΝ

Τῶν ἔργων τὰ μέν ἐστι πνευματικά, τὰ δὲ ψυχικά, τὰ δὲ σαρκικά. Πνευματικὰ μέν, ὅσα πρὸς τὴν μέλλουσαν ἀφορῶσι ζωήν, οἷον ἀνάγνωσις, εὐχὴ καὶ τὰ τοιαῦτα, ἃ καὶ χωρὶς χειρὸς ἀποτελοῦνται, διὰ δὲ μόνου τοῦ πνεύματος. Ψυχικὰ δέ, ὅσα πρὸς τὴν παροῦσαν, ἃ καὶ μετὰ τῆς χειρὸς ἀποτελοῦνται, πλὴν κυριεύοντος τοῦ πνεύματος, οἷον γεωργεῖν, χαλκεύειν. Σαρκικὰ δέ, ὅσα κυριευούσης τῆς σαρκὸς γίνεται, οἷον ἐσθίειν καὶ πίνειν ἀλόγως, κοιμᾶσθαι ἀμέτρως, παίζειν, γελᾶν καὶ τἄλλα τῆς σαρκὸς ἐπιτελεῖν. Ἔστι δὲ καὶ ἕτερον ἔργον, μετέχον πως τῶν πνευματικῶν καὶ ψυχικῶν, διὰ χειρὸς μὲν τὰ πρῶτα καὶ τοῦ πνεύματος ἐνεργούμενον, μετὰ ταῦτα δὲ διὰ μόνου τοῦ πνεύματος, ὅπερ ἐστὶν ἡ ἱερὰ γραφή· ὅπερ καὶ κατὰ τὸν σκοπὸν τοῦ πονοῦντος γίνεται ἢ πνευματικὸν ἢ ψυχικόν· εἰ μὲν γὰρ κατὰ Θεὸν γίνεται τὸ γράφειν, πνευματικόν, εἰ δὲ κατὰ ἄνθρωπον, ψυχικόν. Καὶ ὁ μὲν τὰ πρῶτα ποιῶν, δι' ἀγάπην ἢ φόβον Θεοῦ ποιεῖ· ὁ δὲ τὰ δεύτερα ἢ δι' ἀγάπην ἢ φόβον ἀνθρώπων· ὁ δὲ τὰ τρίτα, ἐξ ἀκρασίας καὶ διαβολικῆς συνεργίας. Εἴθε, Κύριε, εἰ τῶν πρώτων ἀποτύχοιμι, τοῖς τρίτοις μὴ καταλογισθείην. Τρίτα δὲ εἶπον οὐ κατὰ τὸ ἔργον, ἀλλὰ κατὰ τὸν λόγον.

[1]) Κῶδ. Ναυ. 125 f. 214v.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006